dedecus enim & damnum vel ipſorum vel amicorum fugientes, ſeditiones in ciuitatibus agunt. Cauſæ verò ac principia motus, vnde ipſi ita diſponuntur, & pro iis de quibus diximus, ſunt vt ſeptem, ſunt etiam vt plura, quorum duo ſunt eadem cum illis quæ dicta ſunt, non tamen eodem modo. propter lucrum enim & propter honorem irritantur inuicem, non vt acquirant ſibiipſis, ſed quia vident alios partim iniuſtè, partim iuſtè plus habere. Inſuper propter contumeliam, propter metum, propter præpotentiam, propter contemptum, propter incrementum exceſſuum: præterea & alio modo propter verecundiam, propter negligentiam, propter puſillitatem, propter imparitatem.

CAPVT III.

EX quibus contumelia & lucrum, quam habeant vim, & quot cauſæ, ferè eſt manifeſtum. Superbia enim, & auaritia eorum qui gubernant homines, prouocant contra ſe, & contra ſtatum eius reipublicæ, quæ iſta fieri patiatur. auaritia verò quandoq. ex priuatis rebus fit, quandoque ex publicis. De honore etiam clarum eſt, & quid valeat, & quomodo cauſa ſit contendendi. ipſi enim inhonorati, & alios honoratos cernentes, ſeditionem aggrediuntur. Hæc autem iniuſtè quidem fiunt, cùm præter dignitatem honorantur quidam, vel inhonorantur: iuſtè verò, cùm ſecundum dignitatem. Propter præpotentiam autem, quando maior ſit & potentior, vel vnus vel plures, qui ſecundum dignitatem & potentiam reipublicę. conſueuit enim ex talibus fieri vnius dominatio, vel gubernatio violenta. Quapropter quibuſdam in locis Oſtraciſmo vtuntur, ceu Argis & Athenis. atqui melius erat ab initio prouidere, ne in huiuſmodi potentiam augeri homines permitterentur, quàm poſt contrà auctos remedium quærere. Propter metum verò ad ſeditionem deueniunt, qui pœnas formidant ob maleficia commiſſa: & hi contra quos paratur violentia, præuenire volentes, priuſquàm malum patiantur. vt apud Rhodum nobilitas contra plebem inſurrexit metu iudiciorum, quæ ſibi parabantur. Propter contemptum verò ad ſeditiones deueniunt. ceu in paucorum potentia, quando plures ſunt illi, qui à republica excluduntur: potentiores enim ſe putant. Et in populari ſtatu, opulenti contemnentes inordinationem & incuriam eorum qui gubernant, ceu apud

A καὶ γὰρ ἀτιμίαν φεύγοντες καὶ ζημίαν, ἢ ὑπὲρ αὑτῶν, ἢ τῶν φίλων, στασιάζουσιν ἐν ταῖς πόλεσιν. αἱ δ᾽ αἰτίαι καὶ ἀρχαὶ τῶν κινήσεων, ὅθεν αὐτοί τε διατίθενται τὸν εἰρημένον τρόπον, καὶ περὶ τῶν λεχθέντων, ἔστι μὲν ὡς τὸν ἀριθμὸν ἑπτὰ τυγχάνουσιν οὖσαι, ἔστι δ᾽ ὡς πλείους. ὧν δύο μέν ἐστι ταὐτὰ τοῖς εἰρημένοις, ἀλλ᾽ οὐχ ὡσαύτως. διὰ κέρδος γὰρ καὶ διὰ τιμὴν B παροξύνονται πρὸς ἀλλήλοις. οὐχ ἵνα κτήσωνται σφίσιν αὐτοῖς, ὥσπερ εἴρηται πρότερον, ἀλλ᾽ ἑτέρους ὁρῶντες, τοὺς μὲν δικαίως, τοὺς δ᾽ ἀδίκως πλεονεκτοῦντας τούτων. ἔτι διὰ ὕβριν, διὰ φόβον, διὰ ὑπεροχὴν, διὰ καταφρόνησιν, διὰ αὔξησιν τὴν παρὰ τὸ ἀνάλογον. ἔτι δὲ ἄλλον τρόπον, δι᾽ ἐριθείαν, δι᾽ ὀλιγωρίαν, διὰ μικρότητα, δι᾽ ἀνομοιότητα.

Κεφάλαιον γ.

C ΤΟύτων δὲ, ὕβρεις μὲν καὶ κέρδος τίνα ἔχουσι δύναμιν, καὶ πῶς αἴτια, σχεδόν ἐστι φανερόν. ὑβριζόντων τε γὰρ τῶν ἐν ταῖς ἀρχαῖς καὶ πλεονεκτούντων, στασιάζουσι καὶ πρὸς ἀλλήλοις, καὶ πρὸς τὰς πολιτείας τὰς διδούσας τὴν ἐξουσίαν. ἡ δὲ πλεονεξία γίνεται, ὁτὲ μὲν ἀπὸ τῶν ἰδίων, ὁτὲ δὲ ἀπὸ τῶν κοινῶν. δῆλον δὲ καὶ ἡ τιμὴ, καὶ τί δύναται, καὶ πῶς αἰτία στά- D σεως· καὶ γὰρ αὐτοὶ ἀτιμαζόμενοι, καὶ ἄλλοις ὁρῶντες τιμωμένοις, στασιάζουσι· ταῦτα δὲ, ἀδίκως μὲν γίνεται, ὅταν παρὰ τὴν ἀξίαν ἢ τιμῶνταί τινες, ἢ ἀτιμάζωνται· δικαίως δὲ, ὅταν κατὰ τὴν ἀξίαν· δι᾽ ὑπεροχὴν δὲ, ὅταν τις ἢ τῇ δυνάμει μείζων, ἢ εἷς, ἢ πλείους, ἢ κατὰ τὴν πόλιν καὶ τὴν δύναμιν τοῦ πολιτεύματος. γίνεσθαι γὰρ εἴωθεν ἐκ τῶν τοιούτων μοναρχία, E ἢ δυναστεία. διὸ ἐνιαχοῦ εἰώθασιν ὀστρακίζειν· οἷον ἐν Ἄργει καὶ Ἀθήνησι. καίτοι βέλτιον ἐξ ἀρχῆς ὁρᾶν, ὅπως μὴ ἐνέσονται τοσοῦτον ὑπερέχοντες, ἢ ἐάσαντας γενέσθαι, ἰᾶσθαι ὕστερον. διὰ δὲ φόβον στασιάζουσιν οἵ τε ἠδικηκότες, δεδιότες μὴ δῶσι δίκην· καὶ οἱ μέλλοντες ἀδικεῖσθαι, βουλόμενοι φθάσαι πρὶν ἀδικηθῆναι· ὥσπερ ἐν Ῥόδῳ συνέστη- F σαν οἱ γνώριμοι ἐπὶ τὸν δῆμον, διὰ τὰς ἐπιφερομένας δίκας. διὰ καταφρόνησιν δὲ καὶ στασιάζουσι, καὶ ἐπιτίθενται· οἷον, ἔν τε ταῖς ὀλιγαρχίαις, ὅταν πλείους ὦσιν οἱ μὴ μετέχοντες τῆς πολιτείας· κρείττους γὰρ οἴονται εἶναι· καὶ ἐν ταῖς δημοκρατίαις οἱ εὔποροι, καταφρονήσαντες τῆς ἀταξίας καὶ ἀναρχίας·

οἷον καὶ ἐν